ἄγειν δοκῶ μοι τὴν ἑορτήν.
Cω. παῖ Γέτα.
Γε. ἐμὲ τίc;
(Cω.) ἐγώ.
(Γε.) cὺ δ' εἶ τίc;
(Cω.) οὐχ ὁρᾶιc;
(Γε.) ὁρῶ·
τρόφιμοc.
(Cω.) τί ποιεῖτ' ἐνθάδ', εἰπέ μοι;
(Γε.) τί γάρ;
τεθύκαμεν ἄρτι καὶ παραcκευάζομεν
ἄριcτον ὑμῖν.
(Cω.) ἐνθάδ' ἡ μήτηρ;
(Γε.) πάλαι.
(Cω.) ὁ πατὴρ δέ;
(Γε.) προcδοκῶμεν. ἀλλὰ πάραγε cύ.
(Cω.) μικρὸν διαδραμών ⟨γ'⟩. ἐνθαδὶ τρόπον τινὰ
γέγον' οὐκ ἄκαιροc ἡ θυcία· παραλήψομαι
τὸ μειράκιον τουτὶ γάρ, ἐλθὼν ὡc ἔχω,
καὶ τὸν θεράποντ' αὐτοῦ· κεκοινωνηκότεc
ἱερῶν γὰρ εἰc τὰ λοιπὰ χρηcιμώτεροι
ἡμῖν ἔcονται cύμμαχοι πρὸc τὸν γάμον.
(Γε.) τί φήιc; ἐπ' ἄριcτόν τιναc παραλαμβάνειν
μέλλειc πορευθείc; ἕνεκ' ἐμοῦ τριcχίλιοι
γένοιcθ'· ἐγὼ μὲν γὰρ πάλαι τοῦτ' οἶδ', ὅτι
οὐ γεύcομ' οὐδενόc· πόθεν γάρ; cυνάγετε
πάνταc. καλὸν γὰρ τεθύκαθ' ἱερεῖον, πάνυ
ἄξιον ἰδεῖν. ἀλλὰ ⟨τὰ⟩ γύναια ταῦτά μοι
(ἔχει γὰρ ἀcτείωc) μεταδοίη γ' ἄν τινοc;
οὐδ' ἄν, μὰ τὴν Δήμητρ', ἁλὸc πικροῦ.
(Cω.) καλῶc
ἔcται, Γέτα, τὸ τήμερον—μαντεύcομαι